Σουΐδας. ἀσκαλαβώτης, ὁ δὲ γαλεώτης, ἐστὶ ζωΰφιον ἐοικὸς σαύρᾳ, ἐν τοῖς τοίχοις τῶν οἰκημάτων ἀνέρπον. ἀλλ'
A ἑκάτερον ἐνταῦθα οὐδὲν ἄλλο σημαίνειν δοκεῖ ἡ γαλῆν, τουτέστιν αἴλουρον.

Μα. Ζητοῦντος αὐτοῦ τῆς σελήνης τὰς ὁδοὺς,
Καὶ τὰς περιφορὰς, εἶτ' ἄνω κεχηνότος,
Ἀπὸ τῆς ὀροφῆς νύκτωρ γαλεώτης κατέχεσεν.
Στ. Ἥσθην γαλεώτῃ καταχέσαντι Σωκράτους.
Μα. Ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας.
Στ. Εἶεν. τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο;
Μα. Κατὰ τῆς τραπέζης καταπάσας λεπτὴν τέφραν,
Κάμψας ὀβελίσκον, εἶτα διαβήτην λαβὼν,
Ἐκ τῆς παλαίστρας θοἰμάτιον ὑφείλετο.
Στ. Τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν;
Ἄνοιγ' ἄνοιγ' ἁνύσας τὸ φροντιστήριον,
Καὶ δεῖξον ὡς τάχιστά μοι τὸν Σωκράτη.
Μαθητιῶ γὰρ, ἀλλ' ἄνοιγε τὴν θύραν.
Ὦ Ἡράκλεις. ταυτὶ ποδαπὰ τὰ θηρία;
Μα. Τί ἐθαύμασας; τῷ σοι δοκοῦσιν ἐοικέναι;

*Lunæ vias & ambitus: & intuens*
*Cœlum ore hiaret: forte è tecto desuper*
*Felis cacauit nocturnus.* ST. *Gaudeo equidem,*
*Quòd felis percacauit istum Socratem.*
DI. *Heri nobis nihil cœnæ fuit sub vesperam.*
B ST. *Esto, sed quidnam iste ad farinas repperit?*
DI. *In mensa sparsit exilem cinerem: & veru*
*Incuruato, mox apprehendit circinum,*
*Et pallium è palæstra furtim sustulit.*
ST. *Quid ergo Thaletem illum miremur amplius?*
C *Aperi, aperi ludum hunc mihi literarium:*
*Et Socratem mihi monstra quàm citissimè:*
*Nam discere gestio. Quin aperis ostium?*
*Proh Hercules, cuiusmodi hæ sunt bestiæ?*
DI. *Quid mirare? cui similes esse videntur hi?*

Σχόλια. Ἀπὸ τῆς ὀροφῆς.] καὶ ἀρσενικῶς ὁ ὄροφος καὶ θηλυκῶς ἡ ὀροφή. ὡς τὸ πρὸς τὸν ὄροφον ἀνατείνω τὰ Περσικά. καὶ ἐν Λυσιστράτῃ καὶ ἐν Σφηξὶν ὀροφὴν θέασαι. Ἐχθὲς δέ γ' ἡμῖν.] λεληθότως σκώπτει τὸν τῶν φιλοσόφων βίον ὡς ἐπίπονον καὶ ταλαίπωρον, διὰ τοῦτο εἰς αὔξησιν καὶ τῷ καιρῷ συνεχρήσατο. εἴγε μέχρι τῆς ἑσπέρας ἀναμένοντες φαγεῖν, οὐδὲ τότε παρεσκευασμένον οὐδὲν εἶχον.

BISETVS. Ἐπαλαμήσατο] ἐτεχνήσατο ἐμηχανήσατο. παλαμᾶσθαι κυρίως τὸ διὰ τῶν παλαμῶν, εἴτε χειρῶν τι ποιεῖσθαι. μεταφορικῶς δὲ τὸ τεχνᾶσθαι, καὶ μηχανᾶσθαι δηλοῖ.

Σχόλια. Λεπτὴν τέφραν.] ἰσχνὴν σποδόν. οὐχ ἁπλῶς δὲ τὸ λεπτὴν προσέθηκε πρὸς τὴν ὁμοίωσιν τῶν ἀλφίτων καὶ τὰ παραπλήσια. ἰσχνὴν γὰρ τέφραν, τὴν ἐκ τῶν κεκαυμένων ξύλων κόνιν. οὐ ματαίως γὰρ τὸ λεπτὴν προσέθηκε πρὸς τὸ ταύτην δεῖξαι παραπλήσιον τοῖς ἀλφίτοις. Κάμψας.] καμπύλον ποιήσας ὥσπερ ὀγκίνων εἶδει. ὀρθοὶ γὰρ οἱ ὀβελίσκοι. καὶ Ὅμηρος. αὐτὰρ ἐπεὶ ῥ' ὤπτησε καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρεν. ἀλλ' ἐπειδὴ ἔδεσμα ἦν οὐδὲν, πρὸς τὸ ὀβελίσκου δεῖσθαι. πρὸς γὰρ τὸ λαθεῖν, καὶ ἁρπάσαι τι καὶ κατασχεῖν τὸ καμφθῆναι τοῦτον ἦν χρήσιμον. ἔτι γὰρ μέλλων εἰπεῖν ὅτι ὑφείλετο ὀρθὸν ὄντα φησὶ τὸν ὀβελίσκον ἔκαμψεν ἵνα δι' αὐτοῦ δυνηθῇ κλέψαι τὸ ἱμάτιον. τοιαῦτα γὰρ οἱ κλέπται μηχανῶνται, ἵνα ῥᾳδίως πόρρωθεν ἁρπάσωσιν ὃ βούλονται. Εἶτα διαβήτην λαβών.] ἐργαλεῖον ὁ διαβήτης, πολλαῖς εὔχρηστον τέχναις, τῷ λ στοιχείῳ παρεοικός. τούτου τὸ ἓν ἐντιθέντες μέρος καὶ τὸ ἕτερον περιάγοντες καὶ χαράττοντες τὸ ὑποκείμενον, τὸ ἴσον τηροῦσι διάστημα τοῦ κύκλου ἐκ τοῦ κέντρου. Ἐκ τῆς παλαίστρας.] ὅμοιον τῷ ὑπὸ Εὐπόλιδος ῥηθέντι περὶ Σωκράτους. Στησιχόρου πρὸς τὴν λύραν οἰνοχόην ἔκλεψεν. ἐμφαίνει γὰρ διὰ τούτου ὅτι παίδων ἤρα ὁ Σωκράτης. ἐν ταῖς παλαίστραις γὰρ τὰ πολλὰ ἐξητάζοντο ἵνα αὐτοὺς ὁρῴη. Ὑφείλετο.] τοῦτο παρ' ὑπόνοιαν ἐπήγαγεν. ἔδει γὰρ αὐτὸν εἰπεῖν μετέβαλεν αὐτὸν εἰς τὰ ἄλφιτα. ἄλ-
D λως. δέον γὰρ αὐτὸν εἰπεῖν καὶ ἔγραψεν ὧ τέως προσέχοντες οὐκ ἐπαινήσαιμεν καὶ σχήματά τινα ἐπεποιήκει, εἰς ἃ πάντων ἡμῶν ὁ νοῦς καθάπερ κεχηνὼς τροφῆς ἐπιλάθοιτο, ἐπήνεγκεν ὅτι ἀπὸ τῆς παλαίστρας ἔλαβε τὸ ἱμάτιον. διαβάλλει δὲ αὐτὸν ὡς περὶ τὰς παλαίστρας τῶν παίδων ἕνεκα διατρίβοντα. ἐκεῖ γὰρ ἐφοίτα ὡς γυμνοὺς τοὺς παῖδας ὁρῴη. ἄλλως. ἐπειδὴ οἱ τὰ γεωμετρικὰ θεωρήματα διδάσκοντες διαβήταις γράφουσι ταῦτα, φησὶν ὅτι ὀβελίσκον κάμψας. καὶ διαβήτου σχῆμα διαλαβὼν πάντας πρὸς αὐτὸν
E ἐπαγόμενος, ὑφεῖλε τὸ ἱμάτιον. Τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν.] οὗτος ἐγένετο τῶν ἑπτὰ σοφῶν εἷς Μιλήσιος. ὃς πρῶτος τὰ περὶ οὐρανὸν ἐξεῦρε. παρατηρητέον δὲ, ὅτι ἀπ' εὐθείας τῆς ὁ Θαλῆς ὡς Ἑρμῆς, Ἑρμῆν Θαλῆν. καὶ Ἑρμέας, ὡς Θαλέας. διχῶς δὲ τοὔνομα ἐκφωνητέον. βαρύτονον μὲν, Θάλης ὡς Χρέμης, οὗ ἡ γενικὴ, Θάλητος ὡς Χρέμητος, Θάλητι Θάλητα. ὡς τὸ Θάλητα χρημάτων ἐλεύθερον. εἰ δὲ καὶ περισπωμένως Θαλῆς, ὡς Ἑρμῆς. καὶ Θαλοῦ, ὡς
F Ἑρμοῦ. ἄλλως. ὁ Θαλῆς οὗτος Μιλήσιος ἦν, εἷς τῶν ἑπτὰ σοφῶν, οὗτος ἄκρος μηχανικὸς ἦν. στρατεύσαντος γὰρ Κροίσου πρὸς Κῦρον, καὶ μὴ δυναμένης τῆς στρατιᾶς αὐτοῦ διαβῆναι τὸν Ἅλυν ποταμὸν μέγιστον ὄντα, τοιόνδε τι μηχανᾶται. ἄνω τῆς στρατιᾶς ἰὼν τέμνει τὸν ποταμὸν ἑτέρωσε ῥεῖν. οὐ πάντα, ἀλλὰ τὸ ῥεῖθρον αὐτοῦ σχισθὲν, τὸ μὲν εἰς τὴν ἀρχαίαν πορείαν ἐχώρει. θάτερον δὲ ὑπ' ἀγκάλης εἶχε τὴν στρατιάν. καὶ οὕτως ἐπεραιώθησαν. ἐποίησε δὲ τὴν εἰς δύο τομὴν, ἵνα καὶ ἐπανιόντες περαιωθήσωνται.
G Μαθητιῶ] ἀντὶ τοῦ μαθεῖν ἐπιθυμῶ. Ὦ Ἡράκλεις.] πεποίηκε γὰρ τὸ προσαχθὲν ὁ φιλόσοφος, καὶ ἀνέῳξε τὰς θύρας. ὁ δὲ εἰσελθὼν καὶ θεασάμενος αὐτοὺς ὠχροὺς καθημένους, ὡς ἀνθρώπων μορφὰς μὴ ἔχοντας, τεθαύμακε μὴ δὲ ὄψεις διὰ τὴν ὠχρότητα ἔχοντας. ὁρᾷ δὲ ὡς φιλοσόφους κομῶντας γραφέντος τοῦ ἐγκυκλήματος.